Νομίζω δ΄

ὑμᾶς οὐκ ἀγνοεῖν,

ὅτι πολλοὶ τῶν ἄλλων Ελλήνων

ἀεὶ παρ΄ ἡμῖν ἦσαν.

καὶ πολλάκις ἔγωγε ἔλεγον·

ἀεὶ θεάματα πλεῖστα καὶ κάλλιστα εἴχομεν·

τὰ μὲν ταῖς δαπάναις ὑπερέβαλλεν,

τὰ δὲ κατὰ τὰς τέχνας ηὐδοκίμει.

τὰ δ΄ ἀμφοτέροις τούτοις διέφερεν.

καὶ τὸ πλῆθος τῶν ἀφικθουμένων πρὸς ἡμᾶς

τοσοῦτον ἦν,

ὥστ[ε]

– εἴ τι ἐν τῷ πλησιάζειν ἀλλήλοις ἀγαθόν ἐστιν –

καὶ τοῦθ΄ ἡμεῖς ἐλαμβάνομεν.

καὶ ταῦτα μὲν ἔτι καὶ νῦν οὕτως ἔχει,

πρὸς δὲ τούτοις

    καὶ φιλίας ποιήσασθαι πιστοτάτας

    καὶ συνουσίας παντοίας

μάλιστα παρ΄ ἡμῖν ἔξεστιν.

ἔτι δ΄ ἀγῶνας οἱ ἄλλοι Ελληνες θεωροῦσιν,

| | |
|---|---|
| οὐ μόνον {ἀγῶνας} | τάχους καὶ ῥώμης, |
| ἀλλὰ καὶ | λόγων καὶ γνώμης |
| καὶ | τῶν ἄλλων ἔργων ἁπάντων, |

    εἰ δὲ ταῦθ΄ ἡμεῖς οὐκ ἐνομίζομεν ἀγαθά,

τούτων ἂν κατεφρόνουν καὶ οἱ ἄλλοι.

τὰ-γὰρ-ἀεὶ-ὑφ΄-ἡμῶν-κρινόμενα

τοσαύτην λαμβάνει δόξαν,

    ὥστε παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶσθαι.